MATHIEU

## The Great Commandment
(Mk 12.28–34; Lk 10.25–28)

34 Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες ὅτι ἐφίμωσεν τοὺς
Σαδδουκαίους συνήχθησαν ἐπὶ τὸ αὐτό. 35 καὶ ἐπηρώ-
τησεν εἷς ἐξ αὐτῶν [νομικὸς][6] πειράζων αὐτόν, 36 Δι-
δάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ; 37 ὁ δὲ ἔφη
αὐτῷ, **Ἀγαπήσεις κύριον τὸν θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ
σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ** σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου·
38 αὕτη ἐστὶν ἡ μεγάλη καὶ πρώτη ἐντολή. 39 δευτέρα δὲ
ὁμοία αὐτῇ, **Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.**
40 ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος κρέμαται
καὶ οἱ προφῆται.

ROMAINS

## Brotherly Love

8 Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾶν·
ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον νόμον πεπλήρωκεν. 9 τὸ γὰρ
**Οὐ μοιχεύσεις, Οὐ φονεύσεις, Οὐ κλέψεις, Οὐκ ἐπιθυμή-
σεις**[3], καὶ εἴ τις ἑτέρα ἐντολή, ἐν τῷ λόγῳ τούτῳ ἀνακε-
φαλαιοῦται, [ἐν τῷ] **Ἀγαπήσεις τὸν πλησίον σου ὡς
σεαυτόν.** 10 ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται·
πλήρωμα οὖν νόμου ἡ ἀγάπη.

… τοῦ σταυροῦ.
12 ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς.

GALATES

13 Ὑμεῖς γὰρ ἐπ' ἐλευθερίᾳ ἐκλήθητε, ἀδελφοί· μόνον
μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί, ἀλλὰ διὰ τῆς
ἀγάπης δουλεύετε ἀλλήλοις. 14 ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ
λόγῳ πεπλήρωται, ἐν τῷ **Ἀγαπήσεις τὸν πλησίον σου
ὡς σεαυτόν.** 15 εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε,
βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε.